εἰσῆλθεν εἰς τὸ ἁγίασμα ἐν ὑπερηφανίᾳ καὶ ἔλαβεν τὸ θυσιαστήριον
τὸ χρυσοῦν καὶ τὴν λυχνίαν τοῦ φωτὸς καὶ πάντα τὰ σκεύη αὐτῆς
[22]καὶ τὴν τράπεζαν τῆς προθέσεως καὶ τὰ σπονδεῖα καὶ τὰς φιάλας 22
καὶ τὰς θυΐσκας τὰς χρυσᾶς καὶ τὸ καταπέτασμα καὶ τοὺς στεφά-
νους καὶ τὸν κόσμον τὸν χρυσοῦν τὸν κατὰ πρόσωπον τοῦ ναοῦ
καὶ ἐλέπισεν πάντα· [23]καὶ ἔλαβεν τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ 23
σκεύη τὰ ἐπιθυμητὰ καὶ ἔλαβεν τοὺς θησαυροὺς τοὺς ἀποκρύφους,
οὓς εὗρεν· [24]καὶ λαβὼν πάντα ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ. καὶ 24
ἐποίησεν φονοκτονίαν καὶ ἐλάλησεν ὑπερηφανίαν μεγάλην. [25]καὶ ἐγέ- 25
νετο πένθος μέγα ἐπὶ Ισραηλ ἐν παντὶ τόπῳ αὐτῶν. [26]καὶ ἐστένα- 26
ξαν ἄρχοντες καὶ πρεσβύτεροι, παρθένοι καὶ νεανίσκοι ἠσθένησαν,
καὶ τὸ κάλλος τῶν γυναικῶν ἠλλοιώθη. [27]πᾶς νυμφίος ἀνέλαβεν 27
θρῆνον, καὶ καθημένη ἐν παστῷ ἐπένθει. [28]καὶ ἐσείσθη ἡ γῆ ἐπὶ 28
τοὺς κατοικοῦντας αὐτήν, καὶ πᾶς ὁ οἶκος Ιακωβ ἐνεδύσατο αἰ-
σχύνην.

[29]Μετὰ δύο ἔτη ἡμερῶν ἀπέστειλεν ὁ βασιλεὺς ἄρχοντα φορο- 29
λογίας εἰς τὰς πόλεις Ιουδα, καὶ ἦλθεν εἰς Ιερουσαλημ ἐν ὄχλῳ
βαρεῖ. [30]καὶ ἐλάλησεν αὐτοῖς λόγους εἰρηνικοὺς ἐν δόλῳ, καὶ ἐν- 30
επίστευσαν αὐτῷ. καὶ ἐπέπεσεν ἐπὶ τὴν πόλιν ἐξάπινα καὶ ἐπάταξεν
αὐτὴν πληγὴν μεγάλην καὶ ἀπώλεσεν λαὸν πολὺν ἐξ Ισραηλ. [31]καὶ 31
ἔλαβεν τὰ σκῦλα τῆς πόλεως καὶ ἐνέπρησεν αὐτὴν πυρὶ καὶ καθεῖλεν
τοὺς οἴκους αὐτῆς καὶ τὰ τείχη κύκλῳ. [32]καὶ ᾐχμαλώτισαν τὰς γυ- 32
ναῖκας καὶ τὰ τέκνα, καὶ τὰ κτήνη ἐκληρονόμησαν. [33]καὶ ᾠκοδόμη- 33
σαν τὴν πόλιν Δαυιδ τείχει μεγάλῳ καὶ ὀχυρῷ, πύργοις ὀχυροῖς,
καὶ ἐγένετο αὐτοῖς εἰς ἄκραν. [34]καὶ ἔθηκαν ἐκεῖ ἔθνος ἁμαρτωλόν, 34
ἄνδρας παρανόμους, καὶ ἐνίσχυσαν ἐν αὐτῇ. [35]καὶ παρέθεντο ὅπλα 35
καὶ τροφὴν καὶ συναγαγόντες τὰ σκῦλα Ιερουσαλημ ἀπέθεντο ἐκεῖ
καὶ ἐγένοντο εἰς μεγάλην παγίδα. [36]καὶ ἐγένετο εἰς ἔνεδρον τῷ 36
ἁγιάσματι καὶ εἰς διάβολον πονηρὸν τῷ Ισραηλ διὰ παντός. [37]καὶ 37
ἐξέχεαν αἷμα ἀθῷον κύκλῳ τοῦ ἁγιάσματος καὶ ἐμόλυναν τὸ ἁγίασμα.
[38]καὶ ἔφυγον οἱ κάτοικοι Ιερουσαλημ δι᾽ αὐτούς, καὶ ἐγένετο κατ- 38
οικία ἀλλοτρίων· καὶ ἐγένετο ἀλλοτρία τοῖς γενήμασιν αὐτῆς,
καὶ τὰ τέκνα αὐτῆς ἐγκατέλιπον αὐτήν. [39]τὸ ἁγίασμα αὐτῆς ἠρη- 39
μώθη ὡς ἔρημος, αἱ ἑορταὶ αὐτῆς ἐστράφησαν εἰς πένθος, τὰ σάβ-
βατα αὐτῆς εἰς ὀνειδισμόν, ἡ τιμὴ αὐτῆς εἰς ἐξουδένωσιν. [40]κατὰ 40

23 αργυριον ... χρυσιον] tr. S† || 24 εποιησαν et ελαλησαν A† || 27 init.] pr. και Sc*L* | και Sc*L*] > S*A | επενθει S La] -θησε(ν) *L*, εγενετο εν πενθει A || 28 ο > S || 29 init.] pr. και Sc*L* | αρχοντα] + ς S*pau. || 30 ενεπιστευσαν] εν > A || 31 ενεπυρισεν A | τειχη] + αυτης A || 32 ηχμαλωτισαν] -τευσεν A | εκληρον.] > S*†; και εκληρ. εαυτοις Sc†: sim. *L* || 35 εγενοντο mu. La] -νετο SA || 39 αυτης paenult.⌒ult. S*† | η > A† | εξουθενωσιν A || 40 init. — ατιμια] κατα τα τεκνα αυτης επλησθη η γη ατιμια (sic) S*†